# *ΜΙϹΟΥΜΕΝΟϹ*

(*ΘΡΑϹΩΝΙΔΗϹ*)

ὦ Νύξ—cὺ γὰρ δὴ πλεῖcτον Ἀφροδίτης μέρος
μετέχεις θεῶν, ἐν coί τε περὶ τούτων λό[γοι
]νται φροντίδες τ' ἐρωτικαί—
Ἄπολλον, ἀνθρώπων τιν' ἀθλιώτερον
ἑόρακας; ἆρ' ἐρῶντα δυcποτμώτερον;
πρὸς ταῖς ἐμαυτοῦ νῦν θύραις ἕcτηκ' ἐγώ,
]ν̣ω· περιπατῶ τ' ἄνω κάτω
]εχω νῦν μεcούcης cου cχεδόν,
ἐξὸν καθεύδειν τήν τ' ἐρωμένην ἔχειν.
παρ' ἐμοὶ γάρ ἐcτιν ἔνδον ἔξεcτίν τε μοι
καὶ βούλομαι τοῦθ' ὡς ἂν ἐμμανέcτατα
ἐρῶν τις, οὐ ποιῶ δ'· ὑπαιθρί[ωι] δ̣έ μοι
περίπατος οὗ]τός ἐcτιν αἱρετώτερος
]μοντι καὶ λαλοῦντί coι
]ενον· οὐκ ἀ̣γν̣[οῶ] μὰ τοὺς θεούς
]νεcτιν·.[